μένου πολὺς ἦν τῆς θύρας ἀραγμός, καὶ μετὰ μικρὸν
ἧκέ τις ἀγγέλλων ὑπηρέτας τοῦ Ἀρχίου δύο κόπτειν τὴν
αὔλειον ἀπεσταλμένους σπουδῇ πρὸς Χάρωνα καὶ κε-
λεύειν ἀνοίγειν καὶ ἀγανακτεῖν βράδιον ὑπακουόντων. F
θορυβηθεὶς οὖν ὁ Χάρων ἐκείνοις μὲν εὐθὺς ἀνοιγνύναι
προσέταξεν, αὐτὸς δ' ἀπαντήσας ἔχων στέφανον ὡς τε-
θυκὼς καὶ πίνων ἐπυνθάνετο τῶν ὑπηρετῶν ὅ τι βούλοιντο.
λέγει δ' ἅτερος 'Ἀρχίας καὶ Φίλιππος ἔπεμψαν ἡμᾶς κε-
λεύοντες ὡς τάχιστά σ' ἥκειν πρὸς αὐτούς.' ἐρομένου δὲ
τοῦ Χάρωνος, τίς ἡ σπουδὴ τῆς τηνικαῦτα μεταπέμψεως
αὐτοῦ καὶ μή τι καινότερον, 'οὐδὲν ἴσμεν' ὁ ὑπηρέτης ἔφη
'πλέον, ἀλλὰ τί λέγωμεν αὐτοῖς;' 'ὅτι νὴ Δί'' εἶπεν ὁ
Χάρων 'θεὶς τὸν στέφανον ἤδη καὶ λαβὼν τὸ ἱμάτιον ἕπο-
μαι· μεθ' ὑμῶν γὰρ τηνικαῦτα βαδίζων διαταράξω τινὰς
ὡς ἀγόμενος.' 'οὕτως' ἔφη 'ποίει· | καὶ γὰρ ἡμᾶς δεῖ τοῖς 595
ὑπὸ πόλιν φρουροῖς κομίσαι τι πρόσταγμα παρὰ τῶν ἀρ-
χόντων.' ἐκεῖνοι μὲν οὖν ᾤχοντο, τοῦ δὲ Χάρωνος εἰσελ-
θόντος πρὸς ἡμᾶς καὶ ταῦτα φράσαντος ἔκπληξις ἅπαντας
ἔσχεν οἰομένους μεμηνῦσθαι, καὶ τὸν Ἱπποσθενείδαν ὑπε-
νόουν οἱ πλεῖστοι κωλῦσαι μὲν ἐπιχειρήσαντα τὴν κάθοδον
διὰ τοῦ Χλίδωνος, ἐπεὶ δ' ἀπέτυχε καὶ συνῆπτε τῷ καιρῷ
τὸ δεινόν, ἐξενηνοχέναι πιθανὸν ὄντα τὴν πρᾶξιν ὑπὸ
δέους· οὐ γὰρ ἀφίκετο μετὰ τῶν ἄλλων εἰς τὴν οἰκίαν,
ἀλλ' ὅλως ἐδόκει πονηρὸς γεγονέναι καὶ παλίμβολος. οὐ
μὴν ἀλλὰ τόν γε Χάρωνα πάντες ᾠόμεθα χρῆναι βαδίζειν
καὶ ὑπακούειν τοῖς ἄρχουσι καλούμενον. ὁ δὲ κελεύσας B
τὸν υἱὸν ἐλθεῖν κάλλιστον ὄντα Θηβαίων, ὦ Ἀρχίδαμε,
παῖδα καὶ φιλοπονώτατον περὶ τὰ γυμνάσια, πεντεκαι-
δεκέτη μὲν σχεδὸν πολὺ δὲ ῥώμῃ καὶ μεγέθει διαφέροντα
τῶν ὁμηλίκων, 'οὗτος,' εἶπεν 'ὦ ἄνδρες, ἐμοὶ μόνος ἐστὶ
καὶ ἀγαπητός, ὥσπερ ἴστε· τοῦτον ὑμῖν παραδίδωμι πρὸς